σίαν. Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ δώσω σοι
τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. Καὶ ὃ ἐὰν δήσῃς
ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. Καὶ ὃ ἐὰν
λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.
Καὶ μυρία ἄν τις εἰς ἔλεγχον τῆς ἀσεβοῦς διανοίας ἐκ τῶν
ἱερῶν συναγάγοι λογίων. Ὅρα δὲ καὶ τοῦτο. Βαπτισθεὶς ὁ
Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος. Ὢ γλώσσης μελε-
τώσης δυσσέβειαν! Ἐν τῷ πλάσματι τοῦ πονηροῦ, ὁ τοῦ
ἀγαθοῦ πατρὸς ἀγαθὸς υἱὸς βαπτισθείς, ἐκεῖθεν ἀνέβη;
Καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. Ἄλλο πλάσμα πά-
λιν πονηρᾶς χειρός. Διατί δὲ ἀνεῴχθησαν; καὶ τίνος
χάριν; Εἶδε τὸ πνεῦμα τοῦ θεοῦ, φησί, καταβαῖνον, ὡσεὶ
περιστεράν. Τρίτος οὗτος τῆς ἀσεβείας ἐν ὀλίγοις ῥή-
μασι θρίαμβος. Πῶς γὰρ ἐν τῷ ῥήματι τοῦ πλάσμα-
τος τοῦ πονηροῦ τὸ τοῦ θεοῦ πνεῦμα τυποῦται; καὶ κάτ-
εισιν ἐκ τῶν ἔργων τοῦ ἐχθροῦ; κἀκεῖθεν κατιὸν ἔρχε-
ται ἐπὶ τὸν Ἰησοῦν; Καὶ τετάρτη στήλη τῆς ἀσεβείας.
Φωνὴ δίδοται ἐκ τῶν οὐρανῶν· οὗτός ἐστιν ὁ υἱός μου ὁ
ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Ἐπισκόπει, μοι, ἀγαπητέ,
καθ᾽ ἑκάστην λέξιν, ὅπως αὐτοῖς συμπρόεισιν ὁ κατὰ
τῆς ἀσεβείας ἄφυκτος ἔλεγχος. Οὗτος, φησίν, ἐστὶν ὁ
υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Τίς; οὗτος ὁ ἐν
ὕδασι βαπτιζόμενος· ᾧ ἀνεῴχθησαν οἱ οὐρανοί. Ἐφ᾽ ὃν
τὸ πνεῦμα τὸ ἐμὸν ἐν μορφῇ περιστερᾶς καταβαῖνον
ἐκ τῶν οὐρανῶν συνεπιμαρτυρεῖται τοῦ βαπτιζομένου
τὴν υἱότητα. Πάντα ἐμά. Διὰ τῶν ἐμῶν χρισμά-
των ὁ ἐμὸς υἱός, τὸ θέλημα πληρῶν τὸ ἐμόν, τὴν σω-
τηρίαν

διὰ γεν non vide.